## IX

οὐ προϊδών, Θεότιμε, κακὴν δύσιν ὑετίοιο
  Ἀρκτούρου κρυερῆς ἥψαο ναυτιλίης,
ᾗ σε δι᾽ Αἰγαίοιο πολυκλήιδι θέοντα
  νηὶ σὺν οἷς ἑτάροις ἤγαγεν εἰς Ἀίδην.
αἰαῖ, Ἀριστοδίκη δὲ καὶ Εὔπολις οἵ σ᾽ ἐτέκοντο
  μύρονται κενεὸν σῆμα περισχόμενοι.

# PHALAECUS

## I

χρυσωτὸν κροκόεντα περιζώσασα χιτῶνα
  τόνδε Διωνύσῳ δῶρον ἔδωκε Κλεώ,
οὕνεκα συμποσίοισι μετέπρεπεν, ἶσα δὲ πίνειν
  οὔτις οἱ ἀνθρώπων ἤρισεν οὐδαμά πω.

## II

α — νικῶ δίαυλον. β — ἀλλ᾽ ἐγὼ παλαίων.
γ — ἐγὼ δὲ πεντάεθλον. δ — ἀλλ᾽ ἐγὼ πύξ.
ε — καὶ τίς τύ; α — Τιμόδημος. β — ἀλλ᾽ ἐγὼ Κρής.
γ — ἐγὼ δὲ Κρηθεύς. δ — ἀλλ᾽ ἐγὼ Διοκλῆς.
ε — καὶ τίς πατήρ τοι; α — Κλεῖνος. βγδ — ὥσπερ ἄμμιν.
ε — ἔμπη δὲ νικῇς; α — †ἴσθμον· η† ε — τὺ δ᾽ ἔμπη;
β? — Νέμειον ἂν λειμῶνα καὶ παρ᾽ Ἥρᾳ.